κείμενα εὐθύγραμμα τὰ ΜΖ ΝΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ ΚΑΒ
πρὸς τὸ ΛΓΔ. οὕτως τὸ ΜΖ πρὸς τὸ ΝΘ· εἰλήφθω γὰρ
ἐκ τοῦ ια΄ τοῦ ς΄: τῶν μὲν ΑΒ ΓΔ. τρίτη ἀνάλογον ἡ Ξ· τῶν δὲ ΕΖ ΗΘ.
τρίτη ἀνάλογον ἡ Ο· καὶ ἐπεί ἐστιν ὡς μὲν ἡ ΑΒ πρὸς
τὴν ΓΔ. οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ· ὡς δὲ ἡ ΓΔ πρὸς
τὴν Ξ. οὕτως ἡ ΗΘ πρὸς τὴν Ο· δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ
ἐκ τοῦ κβ΄ τοῦ ε΄: ΑΒ πρὸς τὴν Ξ. οὕτως ἡ ΕΖ πρὸς τὴν Ο· ἀλλ' ὡς μὲν ἡ ΑΒ
ἐκ τοῦ π̈ τοῦ κ΄: πρὸς τὴν Ξ. οὕτως καὶ τὸ ΚΑΒ πρὸς τὸ ΛΓΔ· ὡς δὲ ἡ ΕΖ
ἐκ τοῦ ια΄ τοῦ ε΄: πρὸς τὴν Ο. οὕτως τὸ ΜΖ πρὸς τὸ ΝΘ· ἀλλὰ δὴ ἔστω ὡς τὸ
ΚΑΒ πρὸς τὸ ΛΓΔ. οὕτως τὸ ΜΖ πρὸς τὸ ΝΘ· λέγω ὅτι
ἐκ τοῦ ιβ΄ τοῦ ς΄: ἐστὶν καὶ ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ. οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ·
ἐκ τοῦ ιη΄ τοῦ ς΄: γεγονέτω γὰρ ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ. οὕτως ἡ ΕΖ πρὸς
τὴν ΠΡ· καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΠΡ ὁποτέρῳ τῶν
ΜΖ ΝΘ ὅμοιόν τε καὶ ὁμοίως κείμενον τὸ ΣΡ· ἐπεὶ οὖν ἐστιν
ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ. οὕτως ἡ ΕΖ πρὸς τὴν ΠΡ· καὶ ἀνα-
γέγραπται ἀπὸ μὲν τῶν ΑΒ ΓΔ ὅμοιά τε καὶ ὁμοίως κεί-
μενα τὰ ΚΑΒ ΛΓΔ· ἀπὸ δὲ τῶν ΕΖ ΠΡ. ὅμοιά τε καὶ ὁμοί-
ἐκ τῆς προαποδείξεως· ως κείμενα τὰ ΜΖ ΣΡ· ἔστιν ἄρα ὡς τὸ ΚΑΒ πρὸς τὸ ΛΓΔ.
διὰ τὸ κβ΄ τοῦ λήμματος οὕτως τὸ ΜΖ πρὸς τὸ ΣΡ·
ὑπόκειται δὲ καὶ ὡς τὸ
ΚΑΒ πρὸς τὸ ΛΓΔ. οὕ-
τως τὸ ΜΖ πρὸς τὸ ΝΘ·
καὶ ὡς ἄρα τὸ ΜΖ πρὸς
τὸ ΣΡ. οὕτως τὸ ΜΖ
πρὸς τὸ ΝΘ· τὸ ΜΖ ἄ-
ρα πρὸς ἑκάτερον



τῶν ΝΘ ΣΡ τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα ἐστὶ τὸ ΝΘ τῷ ἐκ τοῦ θ΄ τοῦ ε΄
ΣΡ· ἔστι δὲ αὐτῷ καὶ ὅμοιον καὶ ὁμοίως κείμενον· ἴση ἄρα
ἡ ΗΘ τῇ ΠΡ· καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ. οὕτως
ἡ ΕΖ πρὸς τὴν ΠΡ· ἴση δὲ ἡ ΠΡ τῇ ΗΘ· ἔστιν ἄρα ὡς ἡ
ΑΒ πρὸς τὴν ΓΔ. οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ· ἐὰν ἄρα
τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν. καὶ τὰ ἀπ' αὐτῶν εὐθύ-
γραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλο-
γον ἔσται· καὶ ἐὰν τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ
ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ. καὶ αὐταὶ αἱ εὐ-
θεῖαι ἀνάλογον ἔσονται· ὅπερ ἔδει δεῖξαι:— λῆμμα

Ὅτι δὲ ἐὰν εὐθύγραμμα ἴσα ᾖ καὶ ὅμοια, αἱ ὁμόλογοι
αὐτῶν πλευραὶ ἴσαι ἀλλήλαις εἰσί· δείξομεν οὕτως·
ἔστω ἴσα καὶ ὅμοια εὐθύγραμμα τὰ ΝΘ ΣΡ· καὶ ἔστω ὡς ἡ
ΘΗ πρὸς τὴν ΗΝ. οὕτως ἡ ΡΠ πρὸς τὴν ΠΣ· λέγω ὅτι
ἴση ἐστὶν ἡ ΡΠ τῇ ΘΗ· εἰ γὰρ ἄνισοί εἰσιν. μία αὐτῶν
μείζων ἐστίν· ἔστω μείζων ἡ ΡΠ τῆς ΘΗ· καὶ ἐπεί ἐστιν ὡς
ἡ ΡΠ πρὸς ΠΣ. οὕτως ἡ ΘΗ πρὸς ΗΝ· καὶ ἐναλλὰξ ὡς ἐκ τοῦ ις΄ τοῦ ε΄
ἡ ΡΠ πρὸς ΘΗ ἡ ΠΣ πρὸς
ΗΝ· μείζων δὲ ἡ ΡΠ τῆς
ΘΗ· μείζων ἄρα καὶ ἡ ΠΣ
τῆς ΗΝ· ὥστε καὶ τὸ ΡΣ μεί-
ζόν ἐστι τοῦ ΘΝ· ἀλλὰ καὶ ἴσον·
ὅπερ ἀδύνατον· οὐκ ἄρα
ἄνισός ἐστιν ἡ ΠΡ τῇ ΗΘ· ἴση ἄρα· ὅπερ ἔδει δεῖξαι:—



κγ΄ Τὰ ἰσογώνια παραλληλόγραμμα. πρὸς ἄλληλα λό-
γον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· ἔστω ἰσογώ-

EUCLID Elementa BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo